οὖρά τε φοινικόεντ' ἐκ κύσιος ἤλιθα πολλὰ (τ)
μέσφα τοι ἑβδομάτης, ἦμιν τράπον ἔς γε Τριταῖον (υ).
ἱδρὼς δ' οὔποτ' ὄνησε νοσεῦντας λαῦρος ἐών περ (φ),
τεῦξε γεμὴν ὁ μένος Πυρετοῦ μινυώριον αὔτως.
οὐδ' αἱμορραγίη μέγα χραίσμησ'· οὐ γὰρ ὄπωπα
πλείοσι τειρομένοις οἱ ἀλεξητὴρ παρεών περ
εἰνιαχοῦ, θαμὰ δ' οἱ ξυμπτώσιας ἀμφιδοκεῦσας· *)
πρόσθε μὲν Ἠμαθίης ἐνὶ χώροιν Θεσσαλίης τε
ῥεῖ' εἰληθερέοιν, οἳ ἔνδιω ἄμφω ἐόντε,
ἔνθ' ἐπίδημος ἔην ἐνιαύσιος Ἡμιτριταῖος,
ἔνθα τ' ἄρ' ὀξύτερος πέλεν αἰεὶ σκεθρότερός τε·
νῦν δ' αὖτ' ἐν Δακίῃς, λυκάβαντι δὲ μηνί τε τῷδε
ἔξοχ', ὅτ' ἐξετέρους τ', ἐμὲ δ' ἵψατο πάμπαν οὐδ' αἰνῶς.
ϛ. Ὣς ἄρ' ἐπιθρώσκων οὐγ' ἐπέσσυται ἦμαρ ἐς ἕκτον.
ἀλλ' ὅτε ῥ' ἑβδομάτην παραμείψατο λοίγιος ἠῶ,
οὐδ'

---

(τ) Ἐπιδημ. Α. β. (υ) Γαλην. περὶ κρισίμ. ἡμερ. α. (φ) ἐπιδημ. Α. β. ἀφορ. ζ. ξα.

*) Οὑτωσὶ δήπου ὡς φύσει προὐχώρουν τὰ τοῦ πυρετοῦ τοῦδε συμπτώματα καὶ ἡ περίοδος, οὔπω φαρμάκου ληφθέντος οὐδὲ βοηθήματος, ἅπερ τὴν τῆς νόσου περίοδον πολὺ συγχέουσί τε καὶ μεταλλάττουσιν· ἐπεὶ ὀψὲ τῆς νόσου ὡς τὰ πολλὰ προσκεκλημένος κατὰ ε. ϛ. ζ. ἢ καὶ κ. ἡμέραν, ὡς τοῖς ἐκεῖσε εἴθισαι, ἤτοι παρ' αὐτοῦ τοῦ νοσοῦντος ἢ παρὰ τῶν παρεστώτων τὰ τῆς νόσου ἀκήκοα, πολλάκις δὲ καὶ αὐτόπτης ἐγενόμην· καθὰ δὴ καὶ κομιδῇ νέος πρὶν ἢ τῆς Ἰατρικῆς ἅψασθαι ἐν πολλοῖς τῶν οἰκείων τοιαύτῃ ἐπιδημίῳ νόσῳ κατειλημμένοις τὰς αὐτῆς ἐπιδόσεις καὶ ἀποβάσεις τεθέαμαι.